# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β

1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ
Θεσσαλονικέων ἐν θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ Ἰησοῦ
Χριστῷ·
2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ ⸀πατρὸς* καὶ κυρίου
Ἰησοῦ Χριστοῦ.
3 Εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ ὑμῶν,
ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις
ὑμῶν καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν
εἰς ἀλλήλους,
4 ὥστε ⸂αὐτοὺς ἡμᾶς† ἐν ὑμῖν ⸀ἐγκαυχᾶσθαι‡ ἐν ταῖς
ἐκκλησίαις τοῦ θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως
ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς
ἀνέχεσθε,
5 ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ θεοῦ, εἰς τὸ
καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ, ὑπὲρ ἧς καὶ
πάσχετε,
6 εἴπερ δίκαιον παρὰ θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν
ὑμᾶς θλῖψιν
7 καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ᾽ ἡμῶν ἐν τῇ
ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ ἀπ᾽ οὐρανοῦ μετ᾽ ἀγγέλων
δυνάμεως αὐτοῦ
8 ἐν ⸂φλογὶ πυρός§, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι
θεὸν καὶ τοῖς μὴ ὑπακούουσιν τῷ εὐαγγελίῳ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ,

---

* **1:2** πατρὸς WH NIV ] + ἡμῶν Treg RP NA28 † **1:4** αὐτοὺς ἡμᾶς WH Treg NA28 ] ἡμᾶς αὐτοὺς RP ‡ **1:4** ἐγκαυχᾶσθαι WH Treg NA28 ] καυχᾶσθαι RP § **1:8** φλογὶ πυρός Treg ] πυρὶ φλογός WH NA28 RP

9 οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ
προσώπου τοῦ κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος
αὐτοῦ,
10 ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ
θαυμασθῆναι ἐν πᾶσιν τοῖς πιστεύσασιν, ὅτι ἐπιστεύθη τὸ
μαρτύριον ἡμῶν ἐφ’ ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
11 εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς
ἀξιώσῃ τῆς κλήσεως ὁ θεὸς ἡμῶν καὶ πληρώσῃ πᾶσαν
εὐδοκίαν ἀγαθωσύνης καὶ ἔργον πίστεως ἐν δυνάμει,
12 ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ
ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ θεοῦ ἡμῶν
καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

# 2

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ’
αὐτόν,
2 εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς
⸀μηδὲ* θροεῖσθαι μήτε διὰ πνεύματος μήτε διὰ λόγου μήτε
δι’ ἐπιστολῆς ὡς δι’ ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ
⸀κυρίου†
3 μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι
ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ
ἄνθρωπος τῆς ⸀ἀνομίας‡ ὁ υἱὸς τῆς ἀπωλείας,
4 ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα
λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν
τοῦ ⸀θεοῦ§ καθίσαι ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστιν θεός.
5 οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον
ὑμῖν;

---

* **2:2** μηδὲ WH Treg NA28 ] μήτε RP † **2:2** κυρίου WH Treg NA28 ] Χριστοῦ RP ‡ **2:3** ἀνομίας WH Treg NA28 ] ἁμαρτίας RP § **2:4** θεοῦ WH Treg NA28 ] + ὡς θεὸν RP

6 καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι
αὐτὸν ἐν τῷ ⸀ἑαυτοῦ*καιρῷ·
7 τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας· μόνον
ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται.
8 καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος
⸀Ἰησοῦς†⸀ἀνελεῖ‡τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ
καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ,
9 οὗ ἐστιν ἡ παρουσία κατʼ ἐνέργειαν τοῦ Σατανᾶ ἐν
πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν ψεύδους
10 καὶ ἐν πάσῃ ἀπάτῃ ⸀ἀδικίας§τοῖς ἀπολλυμένοις, ἀνθʼ
ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι
αὐτούς·
11 καὶ διὰ τοῦτο ⸀πέμπει*αὐτοῖς ὁ θεὸς ἐνέργειαν
πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει,
12 ἵνα κριθῶσιν ⸀πάντες†οἱ μὴ πιστεύσαντες τῇ‡ἀληθείᾳ
ἀλλὰ εὐδοκήσαντες ⸀τῇ ἀδικίᾳ.
13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε
περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ κυρίου, ὅτι
εἵλατο ὑμᾶς ὁ θεὸς ⸀ἀπαρχὴν§εἰς σωτηρίαν ἐν ἁγιασμῷ
πνεύματος καὶ πίστει ἀληθείας,
14 εἰς ⸀ὃ*ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς
περιποίησιν δόξης τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
15 ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς
παραδόσεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε διʼ ἐπιστολῆς
ἡμῶν.

---

* **2:6** ἑαυτοῦ NA28 RP ] αὐτοῦ WH Treg † **2:8** Ἰησοῦς WH Treg NA28 ] – RP ‡ **2:8** ἀνελεῖ WH Treg NA28 ] ἀναλώσει RP § **2:10** ἀδικίας WH Treg NA28 ] τῆς ἀδικίας ἐν RP * **2:11** πέμπει WH Treg NA28 ] πέμψει RP † **2:12** πάντες WH Treg NA28 ] ἅπαντες RP ‡ **2:12** τῇ WH Treg NA28 ] ἐν τῇ RP § **2:13** ἀπαρχὴν NA28 ] ἀπʼ ἀρχῆς WH Treg NIV RP * **2:14** ὃ WH Treg RP ] + καὶ NA28

16 Αὐτὸς δὲ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ
⸀θεὸς†⸀ὁ‡πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς
παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι,
17 παρακαλέσαι ὑμῶν τὰς καρδίας καὶ ⸀στηρίξαι§ἐν
παντὶ ⸂ἔργῳ καὶ λόγῳ* ἀγαθῷ.

# 3

1 Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ
λόγος τοῦ κυρίου τρέχῃ καὶ δοξάζηται καθὼς καὶ πρὸς
ὑμᾶς,
2 καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν
ἀνθρώπων, οὐ γὰρ πάντων ἡ πίστις.
3 πιστὸς δέ ἐστιν ὁ κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει
ἀπὸ τοῦ πονηροῦ.
4 πεποίθαμεν δὲ ἐν κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ
⸀παραγγέλλομεν*καὶ ποιεῖτε καὶ ποιήσετε.
5 ὁ δὲ κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν
ἀγάπην τοῦ θεοῦ καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ
κυρίου ⸀ἡμῶν†Ἰησοῦ Χριστοῦ στέλλεσθαι ὑμᾶς ἀπὸ
παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν
παράδοσιν ἣν ⸀παρελάβοσαν‡παρ' ἡμῶν.
7 αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ
ἠτακτήσαμεν ἐν ὑμῖν

---

† **2:16** θεὸς Treg ] ὁ θεὸς WH NA28 RP ‡ **2:16** ὁ WH Treg NA28 ] καὶ RP § **2:17** στηρίξαι WH Treg NA28 ] + ὑμᾶς RP * **2:17** ἔργῳ καὶ λόγῳ WH Treg NA28 ] λόγῳ καὶ ἔργῳ RP * **3:4** παραγγέλλομεν WH Treg NA28 ] + ὑμῖν RP † **3:6** ἡμῶν Treg RP NA28 ] – WH NIV ‡ **3:6** παρελάβοσαν NA28 ] παρελάβετε WH Treg NIV; παρέλαβον RP

8 οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ’ ἐν
κόπῳ καὶ μόχθῳ ʻνυκτὸς καὶ ἡμέρας§ ἐργαζόμενοι πρὸς
τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν·
9 οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ’ ἵνα ἑαυτοὺς τύπον
δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς.
10 καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν
ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι μηδὲ ἐσθιέτω.
11 ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως,
μηδὲν ἐργαζομένους ἀλλὰ περιεργαζομένους·
12 τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν
ʻἐν κυρίῳ Ἰησοῦ Χριστῷ* ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι
τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν.
13 ὑμεῖς δέ, ἀδελφοί, μὴ ⸀ἐγκακήσητε†καλοποιοῦντες.
14 Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν
διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε,
⸀μὴ‡⸀συναναμίγνυσθαι§αὐτῷ, ἵνα ἐντραπῇ·
15 καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς
ἀδελφόν.
16 Αὐτὸς δὲ ὁ κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην
διὰ παντὸς ἐν παντὶ τρόπῳ. ὁ κύριος μετὰ πάντων ὑμῶν.
17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστιν σημεῖον ἐν
πάσῃ ἐπιστολῇ· οὕτως γράφω.
18 ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων
⸀ὑμῶν* ‘p /’ ‘/book’

---

§ **3:8** νυκτὸς καὶ ἡμέρας WH Treg NA28 ] νύκτα καὶ ἡμέραν RP * **3:12** ἐν κυρίῳ Ἰησοῦ Χριστῷ WH Treg NA28 ] διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστου RP † **3:13** ἐγκακήσητε WH Treg NA28 ] ἐκκακήσητε RP ‡ **3:14** μὴ WH Treg NA28 ] καὶ μὴ RP § **3:14** συναναμίγνυσθαι WH Treg NA28 ] συναναμίγνυσθε RP * **3:18** ὑμῶν WH Treg NA28 ] + Ἀμήν RP

# Η Καινή Διαθήκη
# The Greek New Testament: SBL Edition

copyright © 2010 Society of Biblical Literature and Logos Bible Software

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Ancient

Updated to source dated 2023-07-10 from https://github.com/LogosBible/SBLGNT

This translation is made available to you under the terms of the Creative Commons Attribution license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

- You include the above copyright and source information.
- If you make any changes to the text, you must indicate that you did so in a way that makes it clear that the original licensor is not necessarily endorsing your changes.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

Note that in addition to the rules above, revising and adapting God's Word involves a great responsibility to be true to God's Word. See Revelation 22:18-19.

2025-04-18

---

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 18 Apr 2025
481db0ad-89b5-5f26-acd4-a04def98bd07